ΟΡ. μάλιστα· δόξαν γὰρ τόδ᾽ ὑγιείας ἔχει.
κρεῖσσον δὲ τὸ δοκεῖν, κἂν ἀληθείας ἀπῇ.
ΗΛ. ἄκουε δή νυν, ὦ κασίγνητον κάρα,
ἕως ἐῶσί σ᾽ εὖ φρονεῖν Ἐρινύες.
ΟΡ. λέξεις τι καινόν· κεἰ μὲν εὖ, χάριν φέρεις·
εἰ δ᾽ ἐς βλάβην τιν᾽, ἅλις ἔχω τὸ δυστυχεῖν.
ΗΛ. Μενέλαος ἥκει, σοῦ κασίγνητος πατρός,
ἐν Ναυπλίᾳ δὲ σέλμαθ᾽ ὥρμισται νεῶν.
ΟΡ. πῶς εἶπας; ἥκει φῶς ἐμοῖς καὶ σοῖς κακοῖς
ἀνὴρ ὁμογενὴς καὶ χάριτας ἔχων πατρός;
ΗΛ. ἥκει — τὸ πιστὸν τόδε λόγων ἐμῶν δέχου —
Ἑλένην ἀγόμενος Τρωικῶν ἐκ τειχέων.
ΟΡ. εἰ μόνος ἐσώθη, μᾶλλον ἂν ζηλωτὸς ἦν·
εἰ δ᾽ ἄλοχον ἄγεται, κακὸν ἔχων ἥκει μέγα.
ΗΛ. ἐπίσημον ἔτεκε Τυνδάρεως ἐς τὸν ψόγον
γένος θυγατέρων δυσκλεές τ᾽ ἀν᾽ Ἑλλάδα.
ΟΡ. σύ νυν διάφερε τῶν κακῶν· ἔξεστι γάρ·
καὶ μὴ μόνον λέγ᾽, ἀλλὰ καὶ φρόνει τάδε.

ΗΛ. οἴμοι, κασίγνητ᾽, ὄμμα σὸν ταράσσεται,
ταχὺς δὲ μετέθου λύσσαν, ἄρτι σωφρονῶν.
ΟΡ. ὦ μῆτερ, ἱκετεύω σε, μὴ ᾿πίσειέ μοι